πότερον δεῖ ἀκοῦσαι τῇ ἀκοῇ ἢ ἰδεῖν. ἡ δὲ A διάνοια οὐ τοιοῦτον· ἀλλὰ καὶ τοῦτο δύναται πράττειν, καὶ ἄλλα. διὰ τοῦτο βουλεύεσθαι ἐνταῦθα ἤδη ὑπάρχει. ἔστιν οὖν ἡ ἁμαρτία ἐν τῇ αἱρέσει τῶν ἀγαθῶν, οὐ περὶ τὰ τέλη, (ταῦτα μὲν γὰρ ἅπαντες ὁμογνωμονοῦσιν, οἷον, τὴν ὑγίειαν ὅτι ἀγαθόν) ἀλλ' ἤδη τὰ κατὰ τὸ τέλος· οἷον πότερον ἀγαθὸν πρὸς ὑγίειαν φαγεῖν τοῦτο, ἢ οὔ. μάλιστα οὖν ποιεῖ ἐν τούτοις τὸ B σφάλλεσθαι ἡδονὴ καὶ λύπη. τὴν μὲν γὰρ φεύγομεν, τὴν δὲ αἱρούμεθα. ἐπεὶ οὖν διήρηται ἐν τίνι ἁμαρτία, καὶ πῶς, λοιπόν ἐστι τίνος ἐστὶν ἡ ἀρετὴ στοχαστική, πότερον τοῦ τέλους, ἢ τῶν εἰς τὸ τέλος· οἷον πότερον τοῦ καλοῦ, ἢ τῶν εἰς τὸ καλόν. πῶς μὲν οὖν ἡ ἐπιστήμη, πότερον τῆς οἰκοδομικῆς ἐπιστήμης τὸ τέλος καλῶς προθέσθαι, ἢ τὰ εἰς τὸ τέλος ἰδεῖν; ἂν γὰρ τοῦ- C το καλῶς προθῆται, οἷον καλὴν οἰκίαν ποιῆσαι, καὶ τὰ εἰς τοῦτο οὐκ ἄλλος τις εὑρήσει καὶ πορίσει, ἢ ὁ οἰκοδόμος. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἁπασῶν ἐπιστημῶν. ὡσαύτως ἄρα δόξειεν ἂν ἔχειν καὶ ἐπ' ἀρετῆς, μᾶλλον εἶναι αὐτῆς τὸν σκοπὸν εἰς τὸ τέλος, ὃ δεῖ ὀρθῶς προθέσθαι, ἢ τὰ εἰς τὸ τέλος· καὶ ἐξ ὧν τοῦτ' ἔσται οὐθεὶς ἄλλος πορίσει, καὶ εὑρήσει ἃ δεῖ εἰς τοῦ- D το. καὶ εὔλογον δὲ τούτου εἶναι προθετικὴν τὴν ἀρετήν, ἐν οἷς ἡ ἀρχὴ τοῦ βελτίστου ἐστὶν ἕκαστον, καὶ ποιητικὸν καὶ προθετικόν. οὐθὲν οὖν βέλτιον τῆς ἀρετῆς ἐστι. ταύτης γὰρ ἕνεκα καὶ τἆλλα ἐστί, καὶ εἰς ταύτην ἐστὶν ἡ ἀρχή. τούτου ἕνεκεν μᾶλλον τὰ εἰς τοῦτ' ἐστίν· τὸ δὲ τέλος ἀρχῇ τινι ἔοικε, καὶ τούτου ἕνεκέν ἐστιν ἕκαστον. ἀλλὰ κατὰ τρόπον τοῦτο ἄν. ὥστε δῆλον ὡς κἀπὶ τῆς ἀρετῆς· ἐπειδὴ βελτίστη ἐστὶν αἰτία, ὅτι τοῦ E τέλους ἐστὶ στοχαστικὴ μᾶλλον, ἢ τῶν εἰς τὸ τέλος.

Κεφάλαιον κ.

Τῆς δέ γ' ἐστὶ τέλος τὸ καλόν. τούτου ἄρα ἐστὶν ἡ ἀρετὴ στοχαστικὴ μᾶλλον, ἢ ἐξ ὧν ἔσται. ἔστι δὲ καὶ ταὐτὸ ταύτῃ. ὅλως δὲ δὴ φαίνεται ἄτοπον. ἴσως γὰρ ἂν ἐν γραφικῇ εἴη τις ἀγαθὸς μιμητής, ὅμως δὲ οὐκ ἂν ἐπαινε- F θείη, ἂν μὴ τὸν σκοπὸν θεὶς τὰ βέλτιστα μιμεῖσθαι. τῆς ἀρετῆς παντελῶς τοῦτ' ἔστι, τὸ καλὸν προθέσθαι. διὰ τί οὖν, ἄν τις εἴποι; πότερον μὲν ἐλέγομεν τὴν ἐνέργειαν κρείττονα εἶναι, ἢ τὴν ἀρετὴν αὐτήν; νῦν δὲ οὐκ ἐξ οὗ ἡ ἐνέργεια, τοῦτο τῇ ἀρετῇ ἀποδίδομεν ὡς κάλλιον,

neque consultamus, nunquid audiendum auditu, an videndum *visu*. At animi cogitatio non est huiusmodi, sed & id & alia potest efficere. Ob hoc ibi iam existit consultare. Est igitur in bonorũ delectu, non in fine, delictum: (nam in iis omnes consentiunt: vt, sanitatem esse bonum) verùm in iis quæ ad finem faciunt: velut expediátne sanitati hoc comesse, an non. Facit igitur plurimum in his ad hallucinandum voluptas, & ægrimonia. Hanc siquidem amplectimur, illam verò fugimus. Quoniam igitur distribuimus, in quo, & quo modo sit delictum: reliquũ est vt intueamur, cuiúsnam rei sit virtus quæ collimet: ad finem ne, an ad ea quę ad finẽ, vt ad honestúmne, an ad ea quæ sunt honestatis. In scientiis ergo quomodo se res habet? vtrum ædificandi scientiæ est finem pulchrè describere, an ea quæ ad finem conducunt inquirere? Nã si hoc speciosè proponetur, vt, pulchram domum efficere, etiam ad hoc quæcunque spectant, non alius quisquam inueniet, neque exhibebit, quàm ædificator. Itidem in aliis quoque omnibus scientiis. Eodem modo igitur in virtute habere videbitur, vt ad finem potius ipsius tendat consideratio, quem rectum oportet proponi, quàm ad ea quæ ad finem sunt, & ex quibus finis constet. Nec quisquam alius exhibebit, inueniétque, quæ ad finem expediant. Iuréque hoc virtus proposuerit, quibus in rebus optimi principium est vnumquodque, quod efficiat, & proponat. Nihil igitur virtute melius, quandoquidem huius causa etiã sunt alia, atque ad ipsam principium est, & eius causa magis sunt quæ ad idem. At finis principio alicui assimulatur, & eius causa est vnumquodque. verùm id erit modo aliquo. Proinde certum vt etiam in virtute, quandoquidem causa est optima, ipsam magis ad finem collimare, quàm ad ea quæ ad finem faciunt.

CAPVT XX.

Atqui virtutis finis, est honestum: honesti ergo magis coniectrix virtus, quàm ex quibus constet: sunt nempe hæc ipsius. At in vniuersum videri potest alienum: quãdoquidem in pictura si quispiam fortassis egregius fuerit imitator, non tamen laudandus accedet, nisi optimam imitandi habuerit intentionem. Virtutis demum id omnino est, sibi honestum proponere. Dixerit quispiam, cur ita? num actionem meliorem dixerimus, quàm virtutem ipsam? at nunc, an ex quo actio est, id virtuti, vtpote honestius, attribuimus?